# Selected Greek Exercises

From Machen's *New Testament Greek for Beginners*

Reformatted by Nate, Josh, and Beni Wilson

Chapters 23-33

# LESSON XXIII Contract Verbs

1. οὐκ εὐλογήσει ὁ θεὸς τὸν μὴ περιπατοῦντα κατὰ

τὰς ἐντολὰς τοῦ Ἰησοῦ.

3. λαλοῦντος τοῦ Ἰησοῦ τοῖς ἀκολουθοῦσιν ἤρξατο ὁ ἄρχων

παρακαλεῖν αὐτὸν ἀπελθεῖν.

5. εἰ ἀγαπῶμεν τὸν θεόν, τηρῶμεν τὰς ἐντολὰς

αὐτοῦ καὶ ποιῶμεν τὰ λαλούμενα ἡμῖν ὑπὸ τοῦ Ἰησοῦ.

7. *ἐθεώρουν οἱ ἀπόστολοι τὰ ἔργα*

*τὰ ποιούμενα ὑπὸ Ἰησοῦ ἐν τῷ περιπατεῖν αὐτοὺς σὺν αὐτῷ.*

9. *οἱ ἀγαπῶντες τὸν θεὸν ποιοῦσι τὰς ἐντολὰς αὐτοῦ.*

11. *ἐζήτουν αὐτὸν οἱ ὄχλοι, ἵνα θεωρῶσι τὰ ποιούμενα ὑπ' αὐτοῦ.*

13. *ἀγαπῶμεν τὸν θεὸν ἐν ταῖς καρδίαις ἡμῶν*

*ἀγαπῶντες καὶ τοὺς ἀδελφούς.*

15. *ἐὰν μὴ περιπατῶμεν κατὰ τὰς ἐντολὰς τοῦ* Ἰησοῦ,

*οὐ θεωρήσομεν τὸ πρόσωπον αὐτοῦ.*

17. *ταῦτα ἐποιεῖτε ἡμῖν διὰ τὸ ἀγαπᾶν ὑμᾶς τὸν*

*καλέσαντα ὑμᾶς εἰς τὴν βασιλείαν αὐτοῦ.*

19. *ἐθεώρουν τὸν* Ἰησοῦν *σταυρούμενον ὑπὸ τῶν στρατιωτῶν*

*αἱ ἀκολουθήσασαι αὐτῷ ἐκ τῆς* Γαλιλαίας.

**LESSON XXIV Future and First Aorist Active and Middle of Liquid Verbs. Reflexive Pronouns**

1. *οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν ἀλλὰ Χριστὸν Ἰησοῦν κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν.*

3. *εἶπεν ὁ μαθητὴς ὅτι ἀποθανεῖται ὑπὲρ τοῦ Ἰησοῦ.*

5. *εὐθὺς ἦρεν ὁ πονηρὸς τὸ παρὰ τὴν ὁδὸν σπαρέν.*

7. *ἐὰν πιστεύσητε εἰς τὸν Ἰησοῦν, μετ' αὐτοῦ μενεῖτε εἰς τὸν αἰῶνα.*

9. *χαρὰ ἔσται ἐπὶ τῷ ἁμαρτωλῷ τῷ ἐπὶ τῷ ῥήματι τοῦ Ἰησοῦ μετανοήσαντι.*

11. ἐπιστρέψαντες οὗτοι ἐπὶ τὸν θεὸν ἔμειναν ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ.

13. οὐκ εἰς ἐμαυτὸν ἐπίστευσα, ἀλλ' εἰς τὸν κύριον.

15. οὗτος μέν ἐστιν ὁ ἄρχων ὁ ἀποκτείνας τοὺς προφήτας, ἐκεῖνος

δέ ἐστιν ὁ ἁμαρτωλὸς ὁ μετανοήσας ἐπὶ τῷ ῥήματι τοῦ 'Ιησοῦ.

17. ἀποστελεῖ πρὸς αὐτοὺς διδασκάλους καὶ προφήτας, ἵνα

μετανοήσωσιν καὶ φοβῶνται τὸν θεόν.

19. ἐρχομένου πρὸς αὐτοὺς τοῦ 'Ιησοῦ περιπατοῦντος

ἐπὶ τῆς θαλάσσης ἐφοβοῦντο οἱ ἰδόντες αὐτὸν μαθηταί.

**LESSON XXV More Nouns of the Third Declension / Adjectives of the Third Declension**

1. ἀληθῆ ἐστι τὰ λαλούμενα ὑπὸ τοῦ ἱερέως τούτου.

3. ἀπεκρίθη ὁ βασιλεὺς ὁ ἀγαθὸς λέγων ὅτι οὐ θέλει ἀποκτεῖναι τοῦτον.

5. τῇ γὰρ χάριτι σωζόμεθα διὰ πίστεως ἵνα δοξάζωμεν τὸν θεόν.

7. εἰς τὰ ἔθνη ἀποστελεῖς τοὺς ἀποστόλους σου, ἵνα

κηρύσσωσιν αὐτοῖς τὸ εὐαγγέλιον τῆς χάριτός σου.

9. ἰδόντες δὲ τὴν χάριν τού θεοῦ παρεκάλεσαν τὰ ἔθνη

μένειν ἐν τῇ χάριτι σὺν χαρᾷ καὶ ἐλπίδι.

11. ἀγαπήσωμεν τοὺς πατέρας καὶ τὰς μητέρας

ἡμῶν, ἵνα τηρήσωμεν τὴν ἐντολὴν τοῦ θεοῦ.

13. οἱ βασιλεῖς οἱ πονηροὶ ἀπέκτειναν καὶ τοὺς ἄνδρας καὶ τὰ τέκνα.

15. ἐὰν μὴ χάριν ἔχωμεν καὶ πίστιν καὶ ἐλπίδα,

οὐ μετανοήσουσι τὰ ἔθνη ἐπὶ τῷ λόγῳ ἡμῶν.

17. ἐλθὼν πρὸς τὸν βασιλέα ταύτης τῆς χώρας παρεκάλεσας

αὐτὸν μὴ ἀποκτεῖναι τὸν ἄνδρα τοῦτον.

19. διὰ πίστεως σώσει τοὺς πιστεύοντας εἰς τὸ ὄνομα αὐτοῦ.

**LESSON XXVI Declension of παν and Numerals. Attributive and Substantive Uses of Prepositional Phrases and of the Genitive. Accusative of Extent of Time and Space**

1. μείνας σὺν αὐτῷ ἔτη τρία ἦλθεν εἰς ἐκείνην τὴν πόλιν.

3. πορευθέντες δὲ οἱ τοῦ Ἰακώβου σταδίους ὡς πέντε

εἶδον τὸν Ἰησοῦν καὶ πάντας τοὺς μετ᾽ αὐτοῦ μαθητάς.

5. ἐθαύμασεν πᾶν τὸ πλῆθος ἐν τῷ βλέπειν αὐτοὺς

τὰ ποιούμενα ὑπὸ τοῦ Ἰησοῦ.

7. τῶν ἀρχιερέων ὄντων ἐν ἐκείνῃ τῇ μεγάλῃ πόλει

ἔμεινεν ὁ Ἰησοῦς ἐν τῇ κώμῃ ἡμέρας ὡς πέντε ἢ ἕξ.

9. *θεραπευθέντος ὑπὸ τοῦ Ἰησοῦ τοῦ ὑπὸ τῶν τεσσάρων προσενεχθέντος*

*αὐτῷ ἐδόξασαν πάντες οἱ ἐν τῇ οἰκίᾳ τὸν ποιήσαντα τὰ μεγάλα ταῦτα.*

11. *ἐποιήθη μὲν δι' αὐτοῦ ὁ κόσμος καὶ πάντα*

*τὰ ἐν αὐτῷ, αὐτὸς δὲ ἐγένετο δι' ἡμᾶς ὡς δοῦλος.*

13. *πᾶς ὁ ἀγαπῶν τὸν θεὸν ἀγαπᾷ καὶ τοὺς ἀδελφούς.*

15. *ταῦτα ἔλεγον οἱ ἐν τῷ οἴκῳ πᾶσι τοῖς ἀρχιερεῦσι καὶ γραμ-*

*ματεῦσι διὰ τὸ γινώσκειν αὐτοὺς πάντα τὰ περὶ τοῦ Ἰησοῦ.*

17. *οὐδεὶς γινώσκει πάντα τὰ ἐν τῷ κόσμῳ εἰ μὴ ὁ ποιήσας τὰ πάντα.*

**LESSON XXVII Interrogative, Indefinite, and Relative Pronouns**
**Deliberative Questions / Conditional Relative Clauses**

1. ὃς ἐὰν μὴ δέξηται ὑμᾶς τοῦτον οὐ δέξεται ὁ βασιλεύς.

3. ἐρωτήσαντός τινος αὐτοὺς τί φάγῃ ἀπεκρίθησαν αὐτῷ

λέγοντες ὅτι δεῖ αὐτὸν φαγεῖν τὸν ἄρτον τὸν ἐν τῷ οἴκῳ.

5. ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου τίνες ἔσονται οἱ πιστεύοντες;

7. ἃ εἶπεν ὑμῖν ὁ προφήτης ἔτι ὢν μεθ' ὑμῶν ταῦτα ἐροῦσι

καὶ οἱ εὐαγγελισάμενοι ἡμᾶς.

9. ὃς ἐὰν μὴ ἀκούσῃ τῶν προφητῶν οὐδὲ μετανοήσει ἐάν τινα ἴδῃ τῶν νεκρῶν.

11. ἔλεγεν ὅτι ἐάν τις ἐγερθῇ ἐκ νεκρῶν μετανοήσουσιν.

13. εἶπεν οὖν αὐτοῖς ὅτι ἐν τῇ κρίσει ἀκούσουσιν πάντες τοῦ κυρίου.

15. ἔλεγε δὲ ὁ ἐπερωτηθεὶς Τί ἐπερωτᾷς με;

οὐ γὰρ θέλω ἀποκρίνεσθαί σοι οὐδέν.

17. ἃ ἔβλεπε τὸν κύριον ποιοῦντα ταῦτα ἤθελε καὶ αὐτὸς ποιεῖν.

# LESSON XXVIII The Imperative Mood

1. ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο.

3. κύριε, ἐλέησον ἡμᾶς, οὐ γὰρ ἐποιήσαμεν ἃ ἐκέλευσας.

5. οὕτως οὖν προσεύχεσθε ὑμεῖς Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς·

Ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθάτω[1] ἡ βασιλεία σου·

γενηθήτω[2] τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

[1] A first aorist ending is placed here on a second aorist stem.

[2] The aorist passive of γινομαι is the same in meaning as the aorist middle, the verb being deponent throughout. The meaning of the verb here is to take place, "to be done."

7. μηδεὶς ἐξέλθῃ εἰς τὰ ὄρη, προσευξάσθωσαν δὲ πάντες

τῷ πατρὶ αὐτῶν τῷ ἐν τοῖς οὐρανοῖς.

9. μηδενὶ εἴπητε ὃ εἴδετε.

11. πάντα οὖν ὅσα ἐὰν εἴπωσιν ὑμῖν ποιήσατε καὶ τηρεῖτε,

κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσιν γὰρ καὶ οὐ ποιοῦσιν.

13. ὅσα ἐὰν ἀκούσητε τοῖς ὠσὶν ὑμῶν καὶ ἴδητε τοῖς

ὀφθαλμοῖς ὑμῶν εἴπετε καὶ τοῖς ἔθνεσιν.

15. μακάριος ὅστις φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ.

17. ἐξελθόντες εἴπετε πᾶσι τοῖς ἔθνεσι τοῖς ἐπὶ πάσης

τῆς γῆς ἃ ἐποίησεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

19. ὅταν ἴδητε ταῦτα γινόμενα, γνώσεσθε ὅτι ἐγγύς ἐστιν ἡ κρίσις.

**LESSON XXIX The Perfect Tense.**

1. οὐδεὶς ἐστιν δίκαιος κατὰ τὸν νόμον εἰ μὴ ὁ ποιήσας

πάντα τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ τοῦ νόμου.

3. ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν λέγομεν καὶ ὑμῖν, ἵνα

καὶ ὑμεῖς πιστεύσητε εἰς τὸν Χριστόν.

5. ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ τὸν γεγεννημένον ἐξ αὐτοῦ.

7. τοῦτο γέγονεν, ὅτι οὕτως γέγραπται διὰ τοῦ προφήτου.

happened

9. *αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν*

*εἰς τὸν κόσμον καὶ ἠγάπησαν οἱ ἄνθρωποι τὸ σκότος.*

11. *ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου*

*καὶ οὐ δέχεσθέ με.*

13. *ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου*

*καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.*

15. ἀπεκρίθη αὐτῷ Πέτρος Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς

ἔχεις, καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ ὁ ἅγιος τοῦ θεοῦ.

17. γέγραπται ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν.

19. νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν

ἀλήθειαν ὑμῖν λελάληκα,[2] ἣν ἤκουσα παρὰ τοῦ θεοῦ.

[2] The relative pronoun agrees with its antecedent in person as well as in gender and number. In this sentence, the antecedent of 'ος is ανθρωπον, which is first person because it is in apposition with the personal pronoun of the first person, με.

**LESSON XXX Comparison of Adjectives. Genitive of Comparison. Adverbs. Genitive with Adverbs of Place. Genitive of Time. Genitive of the Articular Infinitive Expressing Purpose. Dative of Respect. Accusative of Specification. Dative of Time. Possessive Adjectives. Questions Expecting a Negative Answer.**

1. παρακαλῶ δὲ ὑμᾶς ἵνα τὸ αὐτὸ λέγητε πάντες.

3. κέλευσον οὖν τηρηθῆναι τὸ σῶμα ὑπὸ τῶν στρατιωτῶν, μήποτε ἐλθόντες

οἱ μαθηταὶ λάβωσιν αὐτὸ καὶ εἴπωσιν τῷ λαῷ ὅτι ἠγέρθη ἐκ τῶν νεκρῶν.

5. μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις ἀποθάνῃ ὑπὲρ τῶν ἄλλων.

6. πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων.

7. μᾶλλον ἢ τοῦ θεοῦ, κρίνατε.

8. ἐγὼ δὲ λέγω ὑμῖν Ἀγαπάτε τούς ἐχθρους.

9. εἶπεν αὐτοῖς ὁ Ἰησοῦς ὅτι ἔξεστι τοῖς σάββασι καλῶς ποιεῖν.

10. ἔμεινεν δὲ ὁ Ἰησοῦς ἐκεῖ διὰ τὸ εἶναι τὸν τόπον ἐγγὺς τῆς πόλεως.

12. μὴ ποίει τοῦτο· οὐ γὰρ ἱκανός εἰμι ἵνα εἰς τὴν οἰκίαν μου εἰσέλθῃς.

13. ἐλθόντες οἱ στρατιῶται νυκτὸς

ἔλαβον τὸν ἄνδρα καὶ ἀγαγόντες αὐτὸν ἔξω ἀπέκτειναν.

15. *μὴ περιπατοῦμεν κατὰ σάρκα ; οὐκ ἔχομεν τὸ πνεῦμα τοῦ θεοῦ ;*

16. *εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως τοῦ εἶναι*

*ἐγγὺς τοῦ τόπου ὅπου ἦν ὁ Ἰησοῦς.*

19. *μὴ ἐποίησα τὸ ἴδιον θέλημα; οὐ μᾶλλον ἐποίησα τὸ σόν;*

# LESSON XXXI - the μι verbs

1. παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον,

ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς.

3. καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπεν Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν.

5. ἐσθιόντων δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς ἄρτον καὶ εὐλογήσας

ἔκλασεν[1] καὶ δοὺς τοῖς μαθηταῖς εἶπεν Λάβετε φάγετε,

τοῦτό ἐστιν τὸ σῶμά μου. καὶ λαβὼν ποτήριον[2] καὶ

εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων Πίετε ἐξ αὐτοῦ πάντες.

6. καὶ εἶπαν λέγοντες πρὸς αὐτόν Εἰπὸν ἡμῖν ἐν ποίᾳ ἐξουσίᾳ

ταῦτα ποιεῖς, ἢ τίς ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην. ἀποκριθεὶς

δὲ εἶπεν πρὸς αὐτούς Ἐρωτήσω κἀγὼ[3] λόγον, καὶ εἴπατέ μοι.

10. ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ.

11. ἦλθεν ἡ ὥρα, ἰδοὺ παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς

χεῖρας τῶν ἁμαρτωλῶν. ἐγείρεσθε, ἄγωμεν[4]. ἰδοὺ ὁ παραδιδούς με ἤγγικεν.

13. καὶ προσελθὼν ὁ πειράζων εἶπεν αὐτῷ Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ

ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. ὁ δὲ ἀποκριθεὶς εἶπεν Γέγραπται Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος.

14. καὶ προσελθόντες οἱ μαθηταὶ εἶπαν αὐτῷ Διὰ τί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς; ὁ δὲ ἀποκριθεὶς εἶπεν ὅτι[5] Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται.

[1] Aorist active indicative of κλάω, *I break*.

[2] ποτήριον, τό, *a cup*.

[3] κἀγώ stands for καὶ ἐγώ.

[4] ἄγω is sometimes used in the intransitive sense, *I go*.

[5] ὅτι frequently introduces direct (instead of indirect) discourse. When it introduces direct discourse, it must be left untranslated. In such cases, it takes the place of our quotation marks.

**LESSON XXXII – more μι verbs, ωστι and εος**

1. διὰ τοῦτό με ὁ πατὴρ ἀγαπᾷ ὅτι ἐγὼ τίθημι τὴν

ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν. οὐδεὶς ἦρεν αὐτὴν ἀπ' ἐμοῦ,

ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. ἐξουσίαν ἔχω θεῖναι

αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν·

4. ὁ δὲ Ἰησοῦς εἶπεν Ἄφετε τὰ παι-

δία καὶ μὴ κωλύετε[2] αὐτὰ ἐλθεῖν πρός με· τῶν γὰρ τοιούτων[3]
hinder of such

ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. καὶ ἐπιθεὶς τὰς χεῖρας αὐ-

τοῖς ἐπορεύθη ἐκεῖθεν·
thence

9. ὑμεῖς ὃ ἠκούσατε ἀπ' ἀρχῆς[7], ἐν ὑμῖν μενέτω. ἐὰν ἐν ὑμῖν μείνῃ

ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε.

10. καὶ ἐγένετο ὡσεί[8] νεκρός, ὥστε τοὺς πολλοὺς λέγειν ὅτι ἀπέθανεν.
as

11. ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρῴδης[9] ζητεῖν
Herod

τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό.

13. καὶ ἀνοίξας τὸ βιβλίον εὗρεν τὸν τόπον.

17. ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλεν τοὺς δούλους αὐτοῦ.

18. αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός.